eul_wid: igq-ab

Σιμμίας ὁ Ῥόδιος · Simmias of Rhodes

# Epigrams

Ἐπιγράμματα

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινή Koine
**Domain:** Γραμματική Grammar
**Format:** Πραγματεία Treatise

6.113.(p1) ΣΙΜΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ Πρόσθε μὲν ἀγραύλοιο δασύτριχος ἰξάλου αἰγὸς δοιὸν ὅπλον χλωροῖς ἐστεφόμαν πετάλοις· νῦν δέ με Νικομάχῳ κεραοξόος ἥρμοσε τέκτων, ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.

6.114.(p1) [ΤΟΥ ΑΥΤΟΥ] Δέρμα καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος Ἀμφιτρυωνιάδᾳ κείμεθ’ ἀνὰ πρόπυλον τεσσαρακαιδεκάδωρα, τὸν αὐχήεντα Φιλίππῳ ἀντόμενον κατὰ γᾶς ἤλασε δεινὸς ἄκων βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν. ἆ πολύολβος Ἠμαθία· τοίῳ κραίνεται ἁγεμόνι.

7.21.(p1) ΣΙΜΙΟΥ [ΘΗΒΑΙΟΥ] Τόν σε χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου, τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον, πολλάκις ὃν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην, τύμβος ἔχει καὶ γῆς ὀλίγον μέρος, ἀλλ’ ὁ περισσὸς αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.

7.22.(p1) ΤΟΥ ΑΥΤΟΥ Ἠρέμ’ ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ, ἑρπύζοις χλοεροὺς ἐκπροχέων πλοκάμους, καὶ πέταλον πάντη θάλλοι ῥόδου ἥ τε φιλορρὼξ ἄμπελος ὑγρὰ πέριξ κλήματα χευαμένη, εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

7.60.(p1) ΣΙΜΙΟΥ Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης· εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον, οὗτος ἔχει πλεῖστον καὶ φθόνον οὐ φέρεται.

7.193.(p1) ΣΙΜΙΟΥ Τάνδε κατ’ εὔδενδρον στείβων δρίος εἴρυσα χειρὶ πτώσσουσαν βρομίας οἰνάδος ἐν πετάλοις, ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη, τερπνὰ δι’ ἀγλώσσου φθεγγομένα στόματος.

7.203.(p1) ΣΙΜΙΟΥ Οὐκέτ’ ἀν’ ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ, ἠχήεσσαν ἱεῖς γῆρυν ἀπὸ στομάτων, θηρεύων βαλιοὺς συνομήλικας ἐν νομῷ ὕλης· ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.

15.22.(p1) [ΣΙΜΩΝΙΔΟΥ, οἱ δὲ] ΣΙΜΙΟΥ Ὕστατα δὴ τάδ’ ἔειπε φίλαν ποτὶ ματέρα Γοργὼ δακρυόεσσα δέρας χερσὶν ἐφαπτομένα· „Αὖθι μένοις παρὰ πατρί, τέκοις δ’ ἐπὶ λῴονι μοίρᾳ ἄλλαν σῷ πολιῷ γήραϊ καδεμόνα.“ .

15.22.(p1) 〈ΣΙΜΙΟΥ〉 Ο ΠΕΛΕΚΥΣ Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ ὤπας’ Ἐπειὸς πέλεκυν, τῷ ποκα πύργων θεοτεύκτων κατέρειψεν αἶπος, τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ᾐθάλωσεν Δαρδανιδᾶν χρυσοβαφεῖς τ’ ἐστυφέλιξ’ ἐκ θεμέθλων ἄνακτας, οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν, ἀλλ’ ἀπὸ κρανᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής·

νῦν δ’ ἐς Ὁμήρειον ἔβα κέλευθον σὰν χάριν, ἁγνὰ πολύβουλε Παλλάς· τρὶς μάκαρ, ὃν σὺ θυμῷ ἵλαος ἀμφιδερχθῇς· ὅδ’ ὄλβος ἀεὶ πνεῖ.

15.24.(p1) ⟨ΣΙΜΙΟΥ⟩ ΠΤΕΡΥΓΕΣ ΕΡΩΤΟΣ Λεῦσσέ με τὸν Γᾶς τε βαθυστέρνου ἄνακτ’ Ἀκμονίδαν τ’ ἄλλυδις ἑδράσαντα· μηδὲ τρέσῃς, εἰ τόσος ὢν δάσκια βέβριθα λάχνᾳ γένεια. τᾶμος ἐγὼ γὰρ γενόμαν, ἁνίκ’ ἔκραιν’ Ἀνάγκα, πάντα δὲ Γᾶς εἶκε φραδαῖσι λυγραῖς ἑρπετά, πάνθ’, ὅς’ ἕρπει δι’ αἴθρας. Χάους δέ, οὔτι γε Κύπριδος παῖς ὠκυπέτας οὐδ’ Ἄρεος καλεῦμαι· οὔτι γὰρ ἔκρανα βίᾳ, πραϋνόῳ δὲ πειθοῖ· εἶκε δέ μοι Γαῖα Θαλάσσας τε μυχοὶ χάλκεος Οὐρανός τε· τῶν δ’ ἐγὼ ἐκνοσφισάμαν ὠγύγιον σκᾶπτρον, ἔκρινον δὲ θεοῖς θέμιστας.

15.27.(p1) ΣΙΜΙΟΥ ΡΟΔΙΟΥ ΩΙΟΝ ΧΕΛΙΔΟΝΟΣ Κωτίλας ματέρος τῆ τόδ’ ἄτριον νέον Δωρίας ἀηδόνος· πρόφρων δὲ θυμῷ δέξο· δὴ γὰρ ἁγνᾶς λίγειά μιν κάμ’ ἶφι ματρὸς ὠδίς· τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔκειξε κᾶρυξ φῦλ’ ἐς βροτῶν ὑπὸ φίλας ἑλὼν πτεροῖσι ματρός, ἄνωγε δ’ ἐκ μέτρου μονοβάμονος μέγαν πάροιθ’ ἀέξειν ἀριθμὸν εἰς ἄκραν δεκάδ’ ἰχνίων, κόσμον νέμοντα ῥυθμῶν, θοῶς δ’ ὕπερθεν ὠκυλέχριον φέρων νεῦμα ποδῶν σποράδων πίφαυσκεν ἴχνει θενὼν ⟨–⟩ ταν παναίολον Πιερίδων μονόδουπον αὐδάν, θοαῖς ἴς’ αἰόλαις νεβροῖς κῶλ’ ἀλλάσσων, ὀρσιπόδων ἐλάφων τέκεσσι· ταὶ δ’ ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ’ αἶψα μεθ’ ἱμερόεντα μαζόν, πᾶσαι κραιπνοῖς ὑπὲρ ἄκρων ἱέμεναι ποσὶ λόφων κατ’ ἀρθμίας ἴχνος τιθήνας· βλαχαὶ δ’ οἰῶν πολυβότων ἀν’ ὀρέων νομὸν ἔβαν τανυσφύρων τ’ ἐς ἄντρα Νυμφᾶν· καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ’ αὐδὰν θὴρ ἐν κόλπῳ δεξάμενος θαλαμᾶν μυχοιτάτῳ ῥίμφα πετρόκοιτον ἐκλιπὼν ὄρους’ εὐνὰν ματρὸς πλαγκτὸν μαιόμενος βαλιᾶς ἑλεῖν τέκος· κᾆτ’ ὦκα βοᾶς ἀκοὰν μεθέπων ὅ γ’ ἄφαρ λάσιον νιφοβόλων ἀν’ ὀρέων ἔσσυται ἄγκος· ταῖς δὴ δαίμων κλυτὸς ἶσα θοοῖσι ποσὶν δονέων ἅμα πολύπλοκα μεθίει μέτρα μολπᾶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org